eul_wid: fci-ag

*Ὑπερείδης ὁ ῥήτωρ* · Hypereides the Orator

# Epitaph

*Ἐπιτάφιος*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

Epitaph t [ΕΠΙΤΑΦΙΟΣ.] Τῶν μὲν λόγων τ[ῶν μελλόντων ῥηθήσεσ[θαι ἐπὶ τῶιδε τῶι τάφω[ι περί τε Λεωσθένους τοῦ στ[ρατηγοῦ καὶ περὶ τῶν ἄ[λλων τῶν μετ’ ἐκείνου [τετελ]ευτηκότων ἐν τ[ῶι πολ]έμωι, ὡς ἦσαν ἄν[δρες ἀ]γαθοί, μάρτ[υς αὐτὸς ὁ χ]ρόνος ὁ ς .

Epitaph 1 ....... τ]ωι τὰς πρ[άξεις ..... .. ς ἀνθρω[π ......... . ιν πω κα[λλί ...... ἑώ]ρακε ωι ...... [ἐν τῶι π]αντὶ αἰῶ[νι ......... γ]εγενη[μέν ... οὔτε ἄνδρας [ἀμείνους τῶν τετελε ⟨υ⟩ τ[ηκότων οὔτε πρ[άξεις μεγαλ]οπρεπεστ[έρας. διὸ καὶ μάλιστα [πεφόβημαι, μή μοι συμ[βῆι τὸν λ]όγον ἐλάττ[ω φαίν]εσθαι τῶν ἔρ[γων τῶν γεγενη[μένων. πλὴν κατ’ [ἐκεῖνό γε πάλιν θα[ρρῶ, ὅτι τὰ ὑπ’ ἐμοῦ ⟨ἐ⟩ κ[λειπόμενα ὑμεῖς οἱ [ἀκούοντες προσθήσετε· οὐ γὰρ ἐ ⟨ν⟩ τοῖς τυχοῦσιν οἱ λόγοι ῥηθήσονται, ἀλλ’ ἐν αὐτοῖς τοῖ ⟨σ⟩ μάρτυσι τῶν ⟨ἐκ⟩ είνοις π]επραγμένων.

Epitaph 2 Ἄξιον δέ ἐσ]τιν ἐπαινεῖν ⟨τ⟩ ὴν μὲν πό]λ ⟨ι⟩ ν ἡμῶν ⟨τ⟩ ῆς προαιρέσεω]ς ἕνεκεν, τὸ προελέσθ]αι ὅμοια καὶ ἔτι σεμνό]τερα καὶ καλλίω τῶν πρότ]ερον αὐτῆι πεπραγμέ]νων, τοὺς δὲ τετελευ]τηκότας τῆς ἀνδρεία]ς τῆς ἐν τῶι πολέμωι, τὸ μὴ καταισχῦναι τὰς τῶν προγόνων ἀρετάς· τὸν δὲ στρατηγὸν Λεωσθένη διὰ ἀμφότερα· τῆς τε γὰρ προαιρέσεως εἰσηγητὴς τῆι πόλει ἐγένετο, καὶ τῆς στρατείας ἡγεμὼν τοῖς πολίταις κατέστη. Περὶ μὲν οὖν τ]ῆς πόλεως διεξιέναι τ]ὸ καθ’ ἕκαστον ὧν πρότε]ρον πᾶσαν τὴν Ἑλλάδα] ⟨εὐεργέτηκεν⟩ οὔτε ὁ χρόνος ὁ παρὼ]ν ἱκανὸς οὔτε ὁ καιρὸς] ἁρμόττων τῷ μακρ]ολογεῖν, οὔτε ῥάιδιον] ἕνα ὄντα τοσαύτας] καὶ τηλικαύτας πράξεις] ⟨δι⟩ εξελθεῖν καὶ μνημο]νεῦσαι. ἐπὶ κεφαλαίου δ]ὲ οὐκ ὀκνήσω εἰπεῖν περ]ὶ αὐτῆς· ὥσπερ γὰρ] ὁ ἥλιος πᾶσαν τὴν οἰκουμ[ένη]ν ἐπέρ χεται, τὰ[ς μὲν] ὥρας διακρίνων [εἰς τὸ π]ρέπον καὶ καλῶ[ς πάντα καθ]ιστάς, τοῖς δὲ σ[ώφροσι καὶ ἐπ]ιεικέσι τ[ῶν ἀνθρώπ]ων ἐπιμ[ελούμενος κ]αὶ γεν[έσεως καὶ τροφῆ]ς καὶ καρπ]ῶν κ[αὶ τῶν ἄ]λλων ἁ[πά]ντων τῶν εἰς τὸν β[ίο]ν χρησίμων, οὕτως κα[ὶ] ἡ πόλις ἡμῶν διατελε[ῖ το]ὺς μὲν κακοὺ ⟨σ⟩ κολάζο[υσα, τοῖς] δὲ δικαίο ⟨ι⟩ ς β[οηθοῦσα], τὸ δὲ ἴσον ἀντὶ τῆς ἀδι]κίας ἅπασιν ἀπονέμουσα, τ]οῖς δὲ ἰδίοις κινδύνοις κα]ὶ δαπάναι[ς κοινὴν ἄδει]αν τοῖς Ἕλλη[σιν παρασκευ]άζου σα.

Epitaph 3 [περὶ μὲν οὖ]ν τῶν κοινῶ[ν ἔργων τῆς πόλ]εως ὥσπερ [προεῖπον φρά]σαι ... .. , πε[ρὶ δὲ Λεωσθέν]ους καὶ τῶν ἄ[λλων τοὺς λόγ]ους ποι ήσομ[αι. νῦ]ν δὲ πόθεν ἄρξωμα[ι λέγων], ἢ τίνος πρῶτον μνησθῶ; πότερα περ[ὶ] τοῦ γένους αὐτῶν ἑκάστου διεξέλθω; ἀλλ’ εὔηθες εἶναι ὑπολαμβάνω· τὸ ⟨ν⟩ μὲν ⟨γὰρ⟩ ἄλλους τινὰς ἀνθρώπους ἐγκωμιάζοντα, οἳ πολλαχόθεν εἰς μίαν πόλιν συνεληλυθότες οἰκοῦσι γένος ἴδιον ἕκαστος συνεισενεγκάμενος, τοῦτον μὲν δεῖ κατ’ ἄνδρα γενεαλογεῖν ἕκαστον· περὶ δὲ Ἀθηναίων ἀνδρῶν τοὺ ⟨σ⟩ λόγου ⟨σ⟩ ποιούμενος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἷς ἡ κοινὴ γένεσις α[ὐτόχ]θοσιν οὖσιν ἀνυπέρβλητ[ον] τὴν εὐγένειαν ἔχει, πε[ρ]ίεργον ἡγοῦμαι εἶναι ἰδία[ι τὰ] γένη ἐγκωμιάζειν.

Epitaph 4 ἀλλὰ [πε]ρὶ τῆς παιδείας αὐτῶν ἐπι[μνη]σθῶ, καὶ ὡς ἐν πολλῆι σ[ωφροσύνηι παῖδες ὄντ[ες ἐτράφησαν καὶ ἐπαιδε[ύθησαν, ὅπερ εἰώθασίν [τινες ποι εῖν; ἀλλ’ οἶμαι π[άντας εἰδέναι ὅτι τούτο[υ ἕνεκα τοὺ 〈σ〉 παῖδας παιδεύο[μεν, ἵνα ἄνδρες ἀγαθοὶ γ[ίγνωνται· τοὺς δὲ γεγενημ[ένους ἐν τῶι πολέμωι ἄνδρ[ας ὑπερβάλλοντας τῆι ἀ[ρετῆι πρόδηλόν ἐστιν ὅτι πα[ῖδες ὄντες καλῶς ἐπαιδε[ύθη σαν. ἁπλούστατον ο[ὖν ἡγοῦμαι εἶναι τὴν ἐν τ[ῶι πολέμωι διεξελθεῖν ἀρετήν, καὶ ὡς πολλῶν ἀγαθῶν αἴτιοι γεγένη 〈ν〉 ται τῆι πατρίδι καὶ τοῖς ἄλλοις Ἕλ λησιν. ἄρξομαι δὲ πρῶτον ἀπὸ τοῦ στρατηγοῦ· καὶ γὰρ δίκαιον. Λεωσθένης γὰρ ὁρῶν τὴν Ἑλλάδα πᾶ[σ]αν τεταπεινωμένην καὶ ..... ἐπτηχυ]ῖαν, κατεφθαρμένην ὑπὸ τῶν] δωροδοκούντων παρὰ Φιλίπ]που καὶ Ἀλεξάνδρου κατὰ τῶν] πατρίδων τῶν αὑτῶν, καὶ τ]ὴν μὲν πόλιν ἡμῶν δεομέ]νην ἀνδρός, τὴν δ’ Ἑλλάδα πᾶ]σαν πόλεως, ἥτις προστῆναι δυν]ήσεται τῆς ἡγεμονίας, ἐπέδ]ωκεν ἑαυτὸν μὲν τῆι πατρί]δι, τὴν δὲ πόλιν τοῖς Ἕλλησ[ιν] εἰς τὴν ἐλευθερίαν· καὶ ξενικὴν μὲν δύναμιν 〈συ〉 στησάμενος, τῆς δὲ πολιτικῆς ἡγεμὼν καταστὰς τοὺς πρώτους ἀντιταξαμένους τῆι τῶν Ἑλλήνων ἐλευθερίαι Βοιωτοὺς καὶ Μακεδόνας καὶ Εὐβοέας καὶ τοὺς ἄλλους συμμάχους αὐτῶν ἐνίκησε μαχόμενος ἐν τῆι Βοιωτίαι.

Epitaph 5 ἐντεῦθεν δ’ ἐλθὼν εἰς Πύλας καὶ καταλαβὼν τὰς πα]ρόδους, δι’ ὧν καὶ πρότερον ἐπὶ τ]οὺς Ἕλληνας οἱ βάρβαροι ἐπο]ρεύθησαν, τῆς μὲν ἐπὶ τὴν] Ἑλλάδα πορείας Ἀντίπ]ατρον ἐκώλυσεν, αὐτὸν δὲ κα]ταλαβὼν ἐν τοῖς τόποις τούτοι]ς καὶ μάχηι νικήσας ἐπολιόρ]κει κατακλείσας εἰς Λαμίαν· Θ]ετταλοὺς δὲ καὶ Φωκέας καὶ Αἰ]τωλοὺς καὶ τοὺς ἄλλους ἅπαντας τοὺς ἐν τῶι τόπωι συμμάχους ἐποιήσατο, καὶ ὧν Φίλιππος καὶ Ἀλέξανδρος ἀκόντων ἡγούμενοι ἐσεμνύνοντο, τούτων Λεωσθένης ἑκόντων τὴν ἡγεμονίαν ἔλαβεν. συνέβη δ’ αὐτῶι τῶν μὲν πραγμάτων ὧν προε[ί λετο κρατῆσαι, τῆς δὲ εἱ[μαρ]μένης οὐκ ἦν περιγενέ[σθαι.

Epitaph 6 ] δίκαιον δ’ ἐστὶν μὴ μ[όνον] ὧν ἔπραξεν Λεωσθέν[ης κα]ὶ χάριν ἔχειν αὐτῶι πρ[ώτωι ἀ]λλὰ καὶ τῆς ὕστερον [γενομέν]ης μάχης μετὰ τ[ὸν ἐκείνο]υ θάνατον καὶ τῶν [ἄλλων ἀγ]αθῶν τῶν ἐν τῆι σ[τρατείαι τ]αύτηι συμβάντων [τοῖς Ἕλ]λησιν· ἐπὶ γὰρ τοῖς ὑπὸ [Λε]ωσθένους 〈τε〉 θεῖσιν θεμελίοις οἰκοδομοῦσιν οἱ νῦν τὰς ὕστερον πράξεις. Καὶ μηδεὶς ὑπολάβῃ με τῶν ἄλλων πολιτῶν μη]δένα λόγον ποιεῖσθαι, ἀλλὰ] Λεωσθένη μόν〈ον〉 ἐγκωμιάζ]ειν. συμβαίνει γὰρ τὸν Λε]ωσθένους ἔπαινον ἐπὶ ταῖ]ς μάχαις ἐγκώμιον τῶν ἄλ]λων πολιτῶν εἶναι· το[ῦ μὲν] γὰρ βουλεύεσθαι καλ[ῶς ὁ στρα]τηγὸς αἴτιος, τοῦ δὲ νι[κᾶν μαχ]ομένους οἱ κινδυν[εύειν ἐθ]έλοντες τοῖς σώ μασ[ιν· ὥστ]ε ὅταν ἐπαιν[ῶ τὴν γ]εγονυῖαν νίκην, ἅμα τ[ῆι Λε]ωσθένους ἡγεμονίαι καὶ [τὴν τ]ῶν ἄλλων ἀρετὴν ἐγκωμ[ιάσ]ω. τίς γὰρ οὐκ ἂν δικα[ίως] ἐπαινοίη τῶν πολιτῶ[ν το]ὺς ἐν τῶιδε τῶι πολέμω[ι τε]λευτήσαντας, οἳ τὰς ἑα[υτῶ]ν ψυχὰς ἔδωκαν ὑπὲρ τῆ[ς τῶ]ν Ἑλλήνων ἐλευθερίας, [φα]νερωτάτην ἀπόδειξιν τ[αύτ]ην ἡγούμενοι εἶναι τοῦ [βούλ]εσθαι τῆι Ἑλλάδι τὴν] ἐλε[υθερ]ίαν περιθεῖναι τὸ μαχομ[ένους τελευτῆσαι ὑπὲρ αὐτῆ[ς.

Epitaph 7 μ]έγα δ’ αὐτοῖς συνεβάλετ[ο εἰ]ς τὸ προθύμως ὑπὲρ τῆς [Ἑλλάδος ἀγωνίσασθαι τὸ ἐν τῆ[ι Βοιωτίαι τὴν μάχην τὴν π[ροτέραν γενέσθαι. ἑώρων γὰ[ρ τὴν μὲν π]όλιν τῶν Θηβαίων οἰκτ[ρῶς ἠφα]νισμένην ἐξ ἀνθρώπων, [τὴν δὲ ἀ]κρόπολιν αὐτῆς φρουρου[μένην] ὑπὸ τῶν Μακεδόνων, τὰ δὲ σώματα τῶν ἐνοικούντων ἐξηνδραποδισμένα, τὴν δὲ χώραν ἄλλους διανεμομένους, ὥστε πρὸ ὀφθαλμῶν ὁρώμενα αὐτοῖς τὰ δεινὰ ἄοκνον π[αρ]εῖχε τόλμα 〈ν〉 εἰς τὸ κινδυνεύειν [πρ]οχείρως. ἀλλὰ μὴν τήν γε π[ερὶ Π]ύλας καὶ Λαμίαν μάχην γεν[ομέν]ην οὐχ ἧττον αὐτοῖς ἔνδο[ξον γεν]έσθαι συμβέβηκεν ἧς [ἐν Βοιω]τοῖς ἠγωνίσαντο, οὐ μόνον [τῶι μαχο]μένους νικᾶν Ἀντίπατρον [καὶ τοὺς σ]υμμάχους ἀλλὰ καὶ τῶι τόπω[ι, τῶι ἐ]νταυθοῖ γεγενῆσθαι τὴν μ[άχην.] ἀφικνούμενοι γὰρ οἱ Ἕλλη[νες ἅπα]ντες δὶς τοῦ ἐνιαυτοῦ εἰς [τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πυλ]αίαν θεωροὶ γενήσοντ[αι τῶν ἔργων τῶν π[επρα]γμένων αὐτοῖς· ἅμα γὰρ εἰς τὸ[ν τό]πον ἀθροισθήσονται καὶ τῆ[ς το]ύτων ἀ ρετῆς μνησθήσοντ[αι. ο]ὐδένες γὰρ πώποτε τῶν γεγονότων οὔτε περὶ καλλιόνων οὔτε πρὸς ἰσχυροτέρους οὔτε μετ’ ἐλαττόνων ἠγωνίσαντο, τὴν ἀρετὴν ἰσχὺν καὶ τὴν ἀνδρείαν πλῆθος ἀλλ’ οὐ τὸν πολὺν ἀριθμὸν τῶν σωμάτων εἶναι κρίνοντες. καὶ τὴν μὲν ἐλευθερίαν εἰς τὸ κο[ι]νὸν πᾶσιν κατέθεσαν, τὴν δ’ εὐδοξίαν 〈τὴν〉 ἀπὸ τῶν πράξεων ἴδιον στέφανον τῆι πατρίδ[ι περι]έθηκαν. Ἄξιον τοίνυν συλλογίσασθαι καὶ τί ἂν συμβῆναι νομίζομεν μὴ κατὰ τρόπον τούτων ἀγωνισα μένων.

Epitaph 8 ἆρ’ οὐκ ἂν ἑνὸς μὲν δεσπότου τὴν οἰκουμένην ὑπήκοον ἅπασαν εἶναι, νόμωι δὲ τῶι τούτου τρόπωι ἐξ ἀνάγκης χρῆσθαι τὴν Ἑλλάδα; συνελόντα δ’ εἰπεῖν τὴν Μακεδόνων ὑπερηφανίαν καὶ μὴ τὴν τοῦ δικαίου δύναμιν ἰσχύειν παρ’ ἑκάστοις, ὥστε μήτε γυνα 〈ι〉 κῶν μήτε παρθένων μήτε παίδων ὕβρ 〈ε〉 ις ἀνεκλείπτους ἑκάστοις καθεστάναι. φανερὸν δ’ ἐξ ὧν ἀναγκαζόμεθα καὶ νῦν ἔ[στ]ι· θυσίας μὲν ἀνθρώποις γ[ιγνο]μένας ἐφορᾶν, ἀγάλμ[ατα δὲ] καὶ βωμοὺς καὶ ναοὺς τοῖ[ς μὲν] θεοῖς ἀμελῶς, τοῖς δὲ ἀνθρώ[ποις] ἐπιμελῶς συντελούμενα, καὶ [τ]οὺς 〈τού〉 των οἰκέτας ὥσπερ ἥρωας τιμᾶν ἡμᾶς ἀναγκαζομένους. ὅπου δὲ τὰ πρὸς 〈τοὺσ〉 θεοὺς ὅσια διὰ τὴν Μακεδόνων τόλμαν ἀνήρηται, τί τὰ πρὸς τοὺς ἀνθρώπους χρὴ νομίζειν; ἆρ’ οὐκ ἂν παντελῶς καταλελύσθαι; ὥστε ὅσῳ δεινότερα τὰ προ 〈σ〉 δοκώμεν’ ἂν γενέσθαι κρίνομεν, τοσούτῳ μειζόνων ἐπαίνων τοὺς τετελευτηκότας ἀξίους χρὴ νομίζειν. οὐδεμία γὰρ στρατεία τὴν 〈τῶν〉 στρατευομένων ἀρετὴν ἐνεφάνισεν μᾶλλον τῆς νῦν γεγενημένης, ἐν ἧι γε παρατάττεσθαι μὲν ὁσημέραι ἀναγκαῖον ἦ 〈ν〉 , πλείους δὲ μάχας ἠγωνίσθαι διὰ μιᾶς στρατ[είας] ἢ τοὺς ἄλλους πάντας πληγὰς λαμβάνειν ἐν τῶι παρεληλυθότι χρόνωι, χειμώνων δ’ ὑπ]ερβολὰς καὶ τῶν καθ’ ἡμέρα]ν ἀναγκαίων ἐνδείας τοσαύ]τας καὶ τηλικαύτας οὕτως ἐγ]κρατῶς ὑπομεμ 〈ε〉 νηκένα[ι], ὥσ]τε καὶ τῶι λόγωι χαλεπὸν εἶν]αι φράσαι.

Epitaph 9 τὸν δὴ τοιαύτας κ]αρτερίας ἀόκνως ὑπομεῖναι τοὺ〈σ〉 πολίτας προτρεψάμενον Λεωσθένη, καὶ τοὺς τῶι τοιούτωι στρατηγῶι προθύμως συναγωνισ τὰς σφᾶς αὐτοὺς παρασχόντας ἆρ’ οὐ διὰ τὴν τῆς ἀρετῆς ἀπόδειξιν εὐτυχεῖς μᾶλλον ἢ διὰ τὴν τοῦ ζῆν ἀπόλειψιν ἀτυχεῖς νομιστέον; οἵ τινες θνητοῦ σώματος ἀθάν[ατον δόξαν ἐκτήσαντο καὶ διὰ τὴ[ν ἰδίαν ἀρετὴν τὴν κοινὴν ἐλ[ευθερίαν τοῖς Ἕλλησιν ἐβεβαίωσαν. φέρει γὰρ πᾶσαν εὐδαιμονίαν ἡ αὐτονομία. ο〈ὐ〉 γὰρ ἀνδρὸς ἀπειλὴν ἀλλὰ νόμου φωνὴν κυριεύειν δεῖ τῶν εὐδαιμόνων, οὐδ’ αἰτίαν φοβερὰν εἶναι τοῖς ἐλευθέροις ἀλλ’ ἔλεγχον, οὐδ’ ἐπὶ τοῖς κολακεύουσιν τοὺς δυνάστας καὶ διαβάλλουσιν τοὺ 〈σ〉 πολίτας τὸ τῶν πολιτῶν ἀσφαλές, ἀλλ’ ἐπὶ τῆι τῶν νόμων πίστει γενέσθαι. ὑπὲρ ὧν ἁπάντων οὗτοι πόνους πόνων διαδόχους ποιούμενοι καὶ τοῖς καθ’ ἡμέραν κινδύνοις τοὺ〈σ〉 εἰς τὸν ἅπαντα χρόνον φόβους τῶν πολιτῶν καὶ τῶν Ἑλλήνων παραιρούμενοι τὸ ζῆν ἀνήλωσαν εἰς τὸ τοὺς ἄλλους καλῶς ζῆν. διὰ τούτους πατέρες ἔνδοξοι, μητέρες περίβλε〈π〉 τοι τοῖς πολίταις γεγόνασι, ἀδελφαὶ γάμων τῶν προσηκόντων ἐννόμως τετυχήκασι καὶ τεύξονται, παῖδες ἐφόδιον εἰς τὴν πρὸς τὸν δῆμον ε[ὔνοιαν τὴν τῶν οὐκ ἀπολωλότω[ν ἀρετήν, οὐ γὰρ θεμιτὸν τούτου τοῦ ὀνόματος τυχεῖν τοὺς οὕτως ὑπὲρ καλῶν τὸ〈ν〉 βίον ἐκλιπόντας, ἀλλ[ὰ] τῶν τὸ ζῆν 〈ε〉 ἰς αἰώ[ν]ιον τάξιν μετηλλα[χό]των ἕξουσιν.

Epitaph 10 εἰ γὰρ [ὁ τοῖ]ς ἄλλοι[ς] ὢν ἀνιαρ[ότ]ατος θάνατος τούτοις ἀρχηγὸς μεγάλων ἀγαθῶν γέγονε, πῶς τούτους ο〈ὐ〉κ εὐτυχεῖς κρίνειν δίκαιον, ἢ πῶς ἐκλελοιπέναι τὸν βίον, ἀλλ’ οὐκ ἐξ ἀρχῆς γεγονέναι καλλίω γένεσιν τῆς πρώτης ὑ παρξάσης; τότε μὲν γὰρ παῖδες ὄντες ἄφρονες ἦσαν, νῦν δ’ ἄνδρες ἀγαθοὶ γεγόνασι· καὶ τ]ότε μὲν 〈ἐν〉 πολλῶι χρόνωι καὶ διὰ πολλῶν κινδύνων τὴν ἀρετὴν ἀπέδειξαν· νῦν δ’ ἀπὸ ταύτης ...... γνωρίμους πᾶσι καὶ μνημονευτοὺς διὰ ἀνδραγαθί αν γεγονέναι. τίς 〈γὰρ〉 κα〈ι〉ρὸς ἐν ὧι τῆς τούτων ἀρετῆς οὐ μνημονεύσομεν; τίς τόπος ἐν ὧι ζήλου καὶ τῶν ἐντιμοτάτων ἐπαίνων τυγχάνοντας οὐκ ὀψόμ[ε θα; πότερον οὐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τοῖς τῆ[ς πόλεως ἀγαθοῖς; ἀλλὰ τ[ὰ διὰ τούτους γεγονότα τ[ίνας ἄλλους ἢ τούτους ἐπαινεῖσθ[αι καὶ μνήμης τυγχάνειν ποιήσει; ἀλλ᾽ οὐκ ἐν ταῖς ἰδίαις εὐπραξίαις; ἀλλ᾽ ἐν τῇ τούτων ἀρετῆι βεβαίως αὐτῶν ἀπολαύσομεν. παρὰ ποίᾳ δὲ τῶν ἡλικιῶν οὐ μακαριστοὶ γενήσο[νται; πότερον οὐ παρὰ τοῖς π[ρεσβυτέροις, οἳ ἄφοβον ἄ[ξειν τὸν λοιπὸν βίον κα[ὶ ἐν ἀσφαλεῖ γεγενῆσ[θαι νομίζουσι διὰ τού[τους; ἀλλ᾽ οὐ παρὰ τοῖς ἡλικιώτ[αις; . [5]

Epitaph 11 .......... τελευτὴ φ .............. καλῶς ω .............. παραπο ............... αι γέγον[εν; ἀλλ᾽ οὐ παρὰ τοῖς νεωτέρο[ις καὶ παισίν; ἔπειτα οὐ τὸν [θάνατον ζηλώσουσιν αὐτ[ῶν, καὶ αὐτοὶ σπουδάσουσιν [μιμεῖσθαι ὡς παράδειγμ[α τὸν τούτων βίον, ἀνθ᾽ οὗ τὴν ἀ[ρετὴν καταλελοίπασι; οὐκ[οῦν ἄξιον εὐδαιμονίζειν αὐ[τοὺς ἐπὶ τοσαύτηι τιμῇ; ἢ τίνε[ς ............. φοι λει .............. Ἑλλην[ ............... τῶν πε[ .............. παρὰ πο ........... [τῆς Φρυγῶν κ[ρατησάσης στρα τείας ἐγ[κωμιασθήσεται; .... δὲ τῆς ἐλ .............. τατοις ε ............. ἅπασιν κ[αὶ λόγοις καὶ ὠιδαῖς ἐπα[ιν ....... ἀμφότερα γὰρ ε ............. περὶ Λεωσ[θένους ........ καὶ τῶν τ[ελευτησάντων ἐν τῶι πολ[έμωι. εἰ μὲν γὰρ ἡδονῆς ἕν[εκεν μνημονεύουσιν τὰς τ[οιαύτας καρτερίας, τί γέ[νοιτ᾽ ἂν τοῖς Ἕλλησιν ἥδι[ον ἢ ἔπαινος τῶν τὴν ἐλευθερί[αν παρασκευασάντων ἀ[πὸ τῶν Μακεδόνων; εἰ δὲ [ὠφελείας ἕνεκεν ἡ τοια[ύτη μνήμη γίγνεται, τίς ἂν λόγος ὠφελήσειεν μᾶλλον τὰς τῶν ἀκουσόντων ψυχὰς τοῦ τὴν ἀρετὴν ἐγκωμιάσοντος καὶ τοὺς ἀγαθοὺς ἄνδρας; ἀλλὰ μὴν ὅτι παρ᾽ ἡμῖν καὶ τοῖς λοιποῖς πᾶσιν εὐδοκιμεῖν αὐτοὺς ἀναγκαῖον, ἐκ τού των φανερόν ἐστιν· ἐν Ἅιδου δὲ λογίσασθαι ἄξιον, τίνες οἱ τὸν ἡγεμόνα δεξιωσόμενοι τὸν τούτων. [10]

Epitaph 12 ἆρ᾽ οὐκ ἂν οἰόμεθα ὁρᾶν Λεωσθένη δεξιουμένους καὶ θαυμάζοντας τῶν ἡμιθέων καλουμένων τοὺς ἐπὶ Τροίαν στρα 〈τεύ〉 σαντ[α]ς, ὧν οὗτος ἀδελφὰς π[ρ]άξεις ἐνστησάμενος τοσοῦτον δ]ιήνεγκε, ὥστε οἱ μὲν μετὰ πάσης τῆς Ἑλλάδος μ]ίαν πόλιν εἷλον, ὁ δὲ μ]ετὰ τῆς ἑαυτοῦ πατ]ρίδος μόνης πᾶσαν τ]ὴν τῆς Εὐρώπης καὶ τ]ῆς Ἀσίας ἄρχουσαν δύν]αμιν ἐταπείνωσεν. κ]ἀκεῖνοι μὲν ἕνεκα μ]ιᾶς γυναικὸς ὑβρισθείσ]ης ἤμυναν, ὁ δὲ πασ]ῶν τῶν Ἑλληνίδων τ]ὰς ἐπιφερομένας ὕ]βρεις ἐκώλυσεν μετὰ] τῶν συνθαπτομέν]ων νῦν αὐτῶι ἀνδρῶν. τ]ῶν 〈δὲ〉 μετ᾽ ἐκείνους μὲν γ]εγενημένων, ἄξια δ]ὲ τῆς ἐκείνων ἀρε τ]ῆς διαπεπραγμένων, λ]έγω δὴ τοὺς περὶ Μιλτ]ιάδην καὶ Θεμιστ]οκλέα καὶ τοὺς ἄλλους, οἳ τὴν Ἑλλάδ[α ἐλευθερώσαντες ἔντιμον μὲν τὴν πατρίδα κατέστησαν, ἔνδοξον 〈δὲ〉 τὸν αὑτῶν βίον ἐποίησαν, ὧν οὗτος τοσοῦτον ὑπερέσχεν ἀνδρείαι καὶ φρονήσει, ὅσον οἱ μὲν ἐπελθοῦσαν τὴ 〈ν〉 τῶν βαρβάρων δύνα μιν ἠμύναντο, ὁ δὲ μηδ᾽ ἐπελθεῖν ἐποίησεν. [10]

Epitaph 13 κἀκεῖνοι μὲν ἐν τῆι οἰκ 〈ε〉 ίαι τοὺς ἐχθ 〈ρ〉 οὺς ἐπεῖδον ἀγωνιζομένους, οὗτος δὲ ἐν τῆι τῶν ἐχθρῶν περι εγένετο τῶν ἀντιπάλων. οἶμαι δὲ καὶ 〈τοὺσ〉 τὴν πρὸς ἀλλήλους φιλίαν τῶι δήμωι βεβαιότατα ἐνδειξαμένους, λέγω δὲ Ἁρμόδιον καὶ Ἀριστογείτονα, οὐθένας οὕτως ⟦ αὑτοῖσ ⟧ οἰκεί ⟦ οτερ ⟧ ους ὑμῖν εἶναι νομίζειν ὡς Λεωσθέ 〈ν〉 η καὶ τοὺς ἐκείνωι συναγωνισαμένους, οὐδ᾽ ἔστιν οἷς ἂν μᾶλλον ἢ τούτοις πλησιάσειαν ἐν Ἅιδου. εἰκότως· οὐκ ἐλάττω γὰρ ἐκείνων ἔργα διεπράξαντο, ἀλλ᾽ εἰ δέον εἰπεῖν καὶ μείζω. οἱ μὲν γὰρ τοὺ[ς τῆς πατρίδος τυράννους [κατέλυσαν, οὗτοι δὲ τοὺς τῆς Ἑλλάδος ἁπάσης. ὢ καλῆς μὲν καὶ παραδόξου τόλμης τῆς πραχθείσης ὑπὸ τῶνδε τῶν ἀνδρῶν, ἐνδόξου δὲ καὶ μεγαλοπρεποῦς προαιρέσεως ἧς προείλοντο, ὑπερβαλλούσης δὲ ἀρετῆς καὶ ἀνδραγαθίας τῆς ἐν τοῖς κινδύνοις, ἣν οὗτοι παρασχόμενοι εἰς τὴν κοινὴν ἐλευθερίαν τῶν Ἑλλήνων ——— — — — [Χαλεπὸν μὲν ἴσως ἐστὶ τοὺς ἐν τοῖς τοιούτοις ὄντας πάθεσι παραμυθεῖσθαι· τὰ γὰρ πένθη οὔτε λόγωι οὔτε νόμωι κοιμίζεται, ἀλλ᾽ ἡ φύσις ἑκάστου καὶ φιλία πρὸς τὸν τελευτήσαντα 〈τὸν〉 ὁρισμὸν ἔχει τοῦ λυπεῖσθαι. [44]

Epitaph 14 ὅμως δὲ χρὴ θαρρεῖν καὶ τῆς λύπης παραιρεῖν εἰς τὸ ἐνδεχόμενον, καὶ μεμνῆσθαι μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ καὶ τῆς ἀρετῆς ἧς καταλελοίπασιν. εἰ γὰρ θρήνων ἄξια πεπόνθασιν, ἀλλ᾽ ἐπαίνων μεγάλων πεποιήκασιν. εἰ δὲ γήρως θνητοῦ μὴ μετέσχον, ἀλλ᾽

εὐδοξίαν ἀγήρατον εἰλήφασιν εὐδαίμονές τε γεγόνασι κατὰ πάντα. ὅσοι μὲν γὰρ αὐτῶν ἄπαιδες τετελευτήκασιν, οἱ παρὰ τῶν Ἑλλήνων ἔπαινοι παῖδες αὐτῶν ἀθάνατοι ἔσονται. ὅσοι δὲ παῖδας καταλελοίπασιν, ἡ τῆς πατρίδος εὔνοια ἐπίτροπος αὐτοῖς τῶν παίδων καταστήσεται. πρὸς δὲ τούτοις, εἰ μέν ἐστι τὸ ἀποθανεῖν ὅμοιον τῷ μὴ γενέσθαι, ἀπηλλαγμένοι εἰσὶ νόσων καὶ λύπης καὶ τῶν ἄλλων τῶν προσπιπτόντων εἰς τὸν ἀνθρώπινον βίον· εἰ δ’ ἔστιν αἴσθησις ἐν Ἅιδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβάνομεν, εἰκὸς τοὺς ταῖς τιμαῖς τῶν θεῶν καταλυομέναις βοηθήσαντας πλείστης ἐπιμελείας καὶ κηδεμονίας ὑπὸ τοῦ δαιμονίου τυγχάνειν.] ——— [20]

Eulogikon public reading copy · View original HTML at eulogikon.org